pDem9.24-29 Protokoll zum 16.10.22

Zeit: 10:00 bis 12:00 Uhr Ort: online
anwesend: Holger Friedrich Caren musste sich leider krank abmelden. Gute Besserung!

Übersetzung wieder mikro-linear:

	[24] ἀλλὰ τοῦτο μὲν[1] ὑμῖν,	Sondern zum einen ^müssten sie^ gegen euch,
	μᾶλλον δὲ τοῖς τότ᾽ οὖσιν Ἀθηναίοις,	vielmehr gegen die damaligen Athener,
	ἐπειδή τισιν οὐ μετρίως ἐδόκουν προσφέρεσθαι,	sobald sie gegen einige <Städte> nicht angemessen vorzugehen schienen,
	πάντες ᾤοντο δεῖν, καὶ οἱ μηδὲν ἐγκαλεῖν ἔχοντες αὐτοῖς,	- wie alle meinten °°, auch die, die ihnen nichts vorzuwerfen hatten -
5	μετὰ τῶν ἠδικημένων πολεμεῖν·	zusammen mit denen, denen Unrecht angetan war, Krieg führen.
	καὶ πάλιν Λακεδαιμονίοις ἄρξασι	Und weiterhin ^zogen alle^ gegen die Spartaner, als sie die Führung hatten
	καὶ παρελθοῦσιν εἰς τὴν αὐτὴν δυναστείαν ὑμῖν,	und in dieselbe Machtstellung gekommen waren wie ihr <zuvor>,
	ἐπειδὴ πλεονάζειν ἐπεχείρουν	sobald sie begannen übermächtig zu sein
	καὶ πέρα τοῦ μετρίου τὰ καθεστηκότ᾽ ἐκίνουν,	und über das Maß hinaus am Bestehenden rührten,
10	πάντες εἰς πόλεμον κατέστησαν,	in den Krieg,
	καὶ οἱ μηδὲν ἐγκαλοῦντες αὐτοῖς.	auch die, die ihnen nichts vorwarfen.
	[25] καὶ τί δεῖ τοὺς ἄλλους λέγειν;	Und warum muss man über die anderen sprechen?
	ἀλλ᾽ ἡμεῖς αὐτοὶ καὶ Λακεδαιμόνιοι,	Vielmehr wir selbst und die Spartaner ^glaubten^
	οὐδὲν ἂν εἰπεῖν ἔχοντες ἐξ ἀρχῆς	obwohl wir wohl anfangs nicht sagen konnten,
	ὅ τι ἠδικούμεθ᾽ ὑπ᾽ ἀλλήλων,	was wir uns gegenseitit angetan hatten,
15	ὅμως ὑπὲρ ὧν τοὺς ἄλλους ἀδικουμένους ἑωρῶμεν,	dennoch darüber, was wir den anderen angetan sahen,
	πολεμεῖν ᾠόμεθα δεῖν.	Krieg führen zu müssen.
	καίτοι πάνθ᾽ ὅσ᾽ ἐξημάρτηται	Freilich ^ist^ alles, was an Fehlern begangen wurde
	καὶ Λακεδαιμονίοις ἐν τοῖς τριάκοντ᾽ ἐκείνοις ἔτεσιν	einerseits von den Spartanern in jenen 30 Jahren,
	καὶ τοῖς ἡμετέροις προγόνοις ἐν τοῖς ἑβδομήκοντα, ἐλάττον᾽ ἐστίν,	andererseits von unseren Vorfahren in den 70 <Jahren>, weniger °°,
20	ὦ ἄνδρες Ἀθηναῖοι, ὧν Φίλιππος ἐν τρισὶ καὶ δέκ᾽ οὐχ ὅλοις ἔτεσιν,	ihr Athener, als was Philipp in nicht ganz 13 Jahren,
	οἷς ἐπιπολάζει, ἠδίκηκε τοὺς Ἕλληνας,	in denen er die Oberhand hat, den Griechen angetan hat,
	μᾶλλον δ᾽ οὐδὲ μέρος τούτων ἐκεῖνα[2].	ja nicht einmal ein Bruchteil davon ist jenes.

[1] τοῦτο μὲν „zum einen“ wird anakoluthisch aufgenommen von καὶ πάλιν „und andererseits“
[2] ἐκ5εῖνα erg. ἐστίν

	[26] καὶ τοῦτ᾽ ἐκ βραχέος λόγου ῥᾴδιον δεῖξαι.	Und dies ist mit wenigen Worten leicht zu zeigen.
	Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν	Olynth nun, Methone, Apollonia
25	καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ,	und 32 Städte in Thrakien übergehe ich,
	ἃς ἁπάσας οὕτως ὠμῶς ἀνῄρηκεν	die er alle so grausam vernichtete,
	ὥστε μηδ᾽ εἰ πώποτ᾽ ᾠκήθησαν	so dass es, ob sie jemals bewohnt waren,
	προσελθόντ᾽ εἶναι ῥᾴδιον εἰπεῖν·	für einen, der vorbeikommt, nicht leicht zu sagen ist.
	καὶ τὸ Φωκέων ἔθνος τοσοῦτον ἀνῃρημένον σιωπῶ.	Auch dass das so große Volk der Phoker vernichtet wurde, verschweige ich.
30	ἀλλὰ Θετταλία πῶς ἔχει;	Aber wie geht es Thessalien?
	οὐχὶ τὰς πολιτείας καὶ τὰς πόλεις αὐτῶν παρῄρηται	Hat er nicht die Verfassungen und ihre Städte aufgehoben
	καὶ τετραρχίας κατέστησεν,	und Tetrarchien eingerichtet,
	ἵνα μὴ μόνον κατὰ πόλεις ἀλλὰ καὶ κατ᾽ ἔθνη δουλεύωσιν;	damit sie nicht nur nach Städten, sondern auch nach Völkern versklavt sind?
	[27] αἱ δ᾽ ἐν Εὐβοίᾳ πόλεις οὐκ ἤδη τυραννοῦνται,	Stehen die Städte in Euböa nicht schon unter Tyrannenherrschaft,
35	καὶ ταῦτ᾽ ἐν νήσῳ πλησίον Θηβῶν καὶ Ἀθηνῶν;	und dies auf einer Insel in der Nähe von Theben und Athen?
	οὐ διαρρήδην εἰς τὰς ἐπιστολὰς γράφει	Schreibt er nicht ausdrücklich in Briefen:
	‘ἐμοὶ δ᾽ ἐστὶν εἰρήνη πρὸς τοὺς ἀκούειν ἐμοῦ βουλομένους’;	„Ich halte Frieden mit denen, die auf mich hören wollen“?
	καὶ οὐ γράφει μὲν ταῦτα, τοῖς δ᾽ ἔργοις οὐ ποιεῖ, ἀλλ᾽ ἐφ᾽ Ἑλλήσποντον οἴχεται,	Und schreibt er das nicht, aber tut es in Wirklichkeit nicht, sondern geht auf den Hellespont,
40	πρότερον ἧκεν ἐπ᾽ Ἀμβρακίαν, Ἦλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ,	kam vorher nach Ambrakia, hält Elis, eine so große Stadt auf der Peloponnes,
	Μεγάροις ἐπεβούλευσεν πρώην,	bedrohte neulich Megara,
	οὔθ᾽ ἡ Ἑλλὰς οὔθ᾽ ἡ βάρβαρος	<und> weder Griechenland, noch das Barbarenland
	τὴν πλεονεξίαν χωρεῖ τἀνθρώπου.	befriedigt die Habsucht des Menschen.
	[28] καὶ ταῦθ᾽ ὁρῶντες οἱ Ἕλληνες ἅπαντες καὶ ἀκούοντες	Und obwohl dies alle Griechen sehen und davon hören,
55	οὐ πέμπομεν πρέσβεις περὶ τούτων πρὸς ἀλλήλους κἀγανακτοῦμεν,	schicken wir keine Gesandten darüber zueinander und empören uns nicht,
	οὕτω δὲ κακῶς διακείμεθα καὶ διορωρύγμεθα κατὰ πόλεις	und sind in einem so schlechten Zustand und von Stadt zu Stadt so tief zerstritten,
	ὥστ᾽ ἄχρι τῆς τήμερον ἡμέρας οὐδὲν	dass wir bis zum heutigen Tage nichts
	οὔτε τῶν συμφερόντων οὔτε τῶν δεόντων	Nützliches und Erforderliches
	πρᾶξαι δυνάμεθα, οὐδὲ συστῆναι,	tun °° und nicht zusammenstehen
60	οὐδὲ κοινωνίαν βοηθείας καὶ φιλίας οὐδεμίαν	und keinerlei Gemeinschaft der Hilfe und Freundschaft
	ποιήσασθαι,	zustande bringen können.
	[29] ἀλλὰ μείζω γιγνόμενον τὸν ἄνθρωπον περιορῶμεν,	Sondern wir übersehen, dass der Kerl größer wird,
	τὸν χρόνον κερδᾶναι τοῦτον	und ^ein jeder^ achtet darauf, diese Zeit zu gewinnen,

	ὃν[3] ἄλλος ἀπόλλυται ἕκαστος ἐγνωκώς,	in der ein anderer zugrunde geht,
65	ὥς γ᾽ ἐμοὶ δοκεῖ,	wie mir jedenfalls scheint,
	οὐχ ὅπως σωθήσεται τὰ τῶν Ἑλλήνων	ohne zu überlegen und danach zu handeln,
	σκοπῶν οὐδὲ πράττων,	wie die Sache der Griechen gerettet werden wird,
	ἐπεί[4], ὅτι γ᾽	denn, ^ein jeder weiß^, dass ^er (Philipp)^ gewiss
	ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ	wie ein periodisches Leiden, entweder ein Anfall von Fieber
70	ἢ ἄλλου τινὸς κακοῦ	oder eines anderen Übels,
	καὶ τῷ πάνυ πόρρω δοκοῦντι νῦν ἀφεστάναι προσέρχεται,	auch zu dem heranrückt, der glaubt, jetzt noch weit entfernt zu sein,
	οὐδεὶς ἀγνοεῖ.	°°.

Was uns auffiel:

Z.15 und 29 Wie im letzten Protokoll ausführlich behandelt: AcP bei ὁράω und σιωπάω
Z. 17f. ἐξημάρτηται Λακεδαιμονίοις: „es,wurden von den Spartanern Fehler gemacht“ Der Dativus auctoris ist beim Perf.P. üblicη
Z. 27 ὥστε ... εἶναι ῥάδιον Konsekutivsatz mit Inf. als Prädikat; aber Z. 57 ὥστε … δυνάμεθα mit finitem Verb.
Z. 37 ‘ἐμοὶ δ᾽ ἐστὶν εἰρήνη πρὸς τοὺς ἀκούειν ἐμοῦ βουλομένους’ – Ein Satz, den sich Holger gern ins Klassenzimmer hängt.

Nächster Termin: erst wieder Sonnabend, 29.10.22, aber 10:00 Uhr, wenn Caren zustimmt

Vorbereitung dazu:

wie üblich pDem.30-40, soweit Ihr kommt.
Bis dahin werde ich einen ersten Werbe-Video-Versuch hochladen und zur Diskussion stellen.

[3] ὃν Akk. der Ausdehnung „in der“
[4] ἐπεί hier adversativ oder konzessiv